ΑΡΧΙΜ. ΝΙΚΟΔΗΜΟΥ Γ. ΑΕΡΑΚΗ

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ
## ΤΩΝ ΑΓΙΩΝ
# ΤΡΙΑΚΟΝΤΑ ΕΠΤΑ ΜΑΡΤΥΡΩΝ
## ΤΩΝ ΕΝ ΒΙΖΥῌ ΤΗΣ ΘΡᾼΚΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ
## ΕΝ ΟΙΣ
# ΚΑΙ Ο ΜΑΡΤΥΣ ΑΧΙΛΛΕΥΣ
## ΚΑΙ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ
# ΣΕΒΗΡΟΥ ΚΑΙ ΜΕΜΝΟΝΟΣ

Ψαλλομένη τῇ κ΄ τοῦ μηνός Αὐγούστου

ΑΘΗΝΑΙ 1993

ΑΡΧΙΜ. ΝΙΚΟΔΗΜΟΥ Γ. ΑΕΡΑΚΗ

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΑΓΙΩΝ

# ΤΡΙΑΚΟΝΤΑ ΕΠΤΑ ΜΑΡΤΥΡΩΝ

## ΤΩΝ ΕΝ ΒΙΖΥῌ ΤΗΣ ΘΡᾼΚΗΣ

## ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ

## ΕΝ ΟΙΣ

# ΚΑΙ Ο ΜΑΡΤΥΣ ΑΧΙΛΛΕΥΣ

## ΚΑΙ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ

# ΣΕΒΗΡΟΥ ΚΑΙ ΜΕΜΝΟΝΟΣ

Ψαλλομένη τῇ κ΄ τοῦ μηνός Αὐγούστου

ΑΘΗΝΑΙ 1993

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΥΔΡΑΣ, ΣΠΕΤΣΩΝ & ΑΙΓΙΝΗΣ

Ἐν Ὕδρα τῇ 22α Μαρτίου 1993

Ἀριθ. Πρωτ. 266
Διεκπ. 365

Πρός
Τόν Πανοσιολογιώτατον
Ἀρχιμ. Νικόδημον Ἀεράκην
Ἱεροκήρυκα

Εἰς ΕΡΜΙΟΝΗΝ

Πανοσιολογιώτατε,

Ἀποστέλλομεν μετά χαρᾶς συνημμένως ὧδε, ἐν φωτοαντιγράφῳ, τό ὑπ᾽ἀριθ. 478/311/11.3.1993 ἔγγραφον τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, δι᾽οὗ γνωρίζεται ἡ ἔγκρισις ὑπ᾽Αὐτῆς τῆς ἱερᾶς Ἀκολουθίας τῶν Ἁγίων Τριάκοντα ἑπτά μαρτύρων τῶν ἐν Βιζύῃ τῆς Θράκης μαρτυρησάντων, ὡς καλῶς ἐχούσης, ποιηθείσης δοκίμως ὑφ᾽ὑμῶν, πρός λειτουργικήν χρῆσιν καί ὠφέλειαν πνευματικήν τοῦ εὐσεβοῦς ποιμνίου τῆς Ἐκκλησίας ἡμῶν.-

Ἐπί τούτοις, συγχαίροντες ὁλοκαρδίως ὑμῖν διά τήν μετά ζήλου καί ἐμπνεύσεως ποιηθεῖσαν ὡς ἄνω Ἱεράν Ἀκολουθίαν, ἐγκρίνομεν τήν τύποις ἔκδοσιν καί κυκλοφορίαν ταύτης καί εὐχόμεθα, ὅπως ὁ νέος καρπός τῆς ὑμετέρας ἐπιμελείας καί φιλοκαλίας, συμβάλῃ εἰς οἰκοδομήν καί τόν πνευματικόν χορτασμόν τοῦ Χριστεπωνύμου Πληρώματος.-

Μετ᾽εὐχῶν καί τῆς ἐν Κυρίῳ ἀγάπης
Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΥΔΡΑΣ ΣΠΕΤΣΩΝ ΚΑΙ ΑΙΓΙΝΗΣ

† Ὁ Ἱεραπ. Ἱερόθεος

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (115 21)

Αριθ. Πρωτ. 478 Διεκπ. 311

ΑΘΗΝΗ, ΟΙ ΤΗ 11η Μαρτίου 1993

ΘΕΜΑ:

19/3/93

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΥΔΡΑΣ - ΣΠΕΤΣΩΝ ΚΑΙ ΑΙΓΙΝΗΣ
ΑΡΙΘ. ΠΡΩΤ. 266
ΕΛΗΦΘΗ ΤΗ 19-3-93

Πρός
Τήν Ἱεράν Μητρόπολιν
Ὕδρας, Σπετσῶν καί Αἰγίνης.
Εἰς Ὕδραν.

Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 10ης Μαρτίου 1993 καί εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. 1183/92/11/18.1.1993 ὑμετέρου ἐγγράφου, περί ἐγκρίσεως ὑπό τῆς Ἱερᾶς Συνόδου Ἱερᾶς Ἀκολουθίας τῶν Ἁγίων Τριάκοντα ἑπτά μαρτύρων τῶν ἐν Βιζύῃ τῆς Θράκης μαρτυρησάντων, ποιηθείσης ὑπό τοῦ Πανοσιολογ. Ἀρχιμ. Νικοδήμου Ἀεράκη, γνωρίζομεν ὑμῖν ὅτι, κατόπιν καί τῆς εἰσηγήσεως τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου, ἐγκρίνεται ἡ ὡς ἄνω Ἱερά Ἀκολουθία, ὡς καλῶς ἔχουσα, καθ' ὅσον οὐδέν τό ἀπᾶδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας περιέχεται ἐν αὐτῇ.

Ὅθεν παρακαλοῦμεν, ὅπως κατά τήν τάξιν ὑποβάλητε πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διά τό Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου.

Ἐντολῇ τῆς Ἱερᾶς Συνόδου
Ὁ Ἀρχιγραμματεύς

Ἀρχιμ. Δαμασκηνός Καρπαθάκης

Κοινοποίησις :
Συνοδικήν Ἐπιτροπήν Θείας Λατρείας
καί Ποιμαντικοῦ Ἔργου.
Παρ' ἡμῖν.

ΑΚΡΙΒΕΣ ΑΝΤΙΓΡΑΦΟΝ
19/3/1993
Ο ΓΡΑΜΜΑΤΕΥΣ

ΕΥΣΤΑΘΙΟΣ ΓΕΩΡΓΑΣ

# ΠΡΟΛΟΓΟΣ

Η ἀνὰ χεῖρας ᾀσματικὴ Ἀκολουθία ἐποιήθη, χάριτι τοῦ Τρισαγίου Κυρίου, πρὸς τιμὴν καὶ δόξαν τῶν τριάκοντα ἑπτὰ Μαρτύρων τῶν ἐν Βιζύῃ τῆς Θρᾴκης μαρτυρησάντων, ἐν οἷς καὶ ὁ Μάρτυς Ἀχιλλεύς, καὶ τῶν ἁγίων Μαρτύρων Σεβήρου καὶ Μέμνονος.

Οἱ ἀνωτέρω καλλίνικοι Μάρτυρες ἑορτάζουν τῇ 20ῇ Αὐγούστου, τὸ δὲ συναξάριον αὐτῶν καταχωρεῖται εἰς τὸ οἰκεῖον μέρος τῆς ᾀσματικῆς Ἀκολουθίας, συμφώνως πρὸς τὸ ἐπίσημον Μηναῖον τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας.

Τῶν τριάκοντα ἑπτὰ Μαρτύρων τὰ ὀνόματα ἐδανείσθην ἐκ τῶν ἁγιολογικῶν πηγῶν καὶ χειρογράφων, ἐν οἷς ὑπάρχει ἐναλλαγή τις ὀνομάτων, ὡς θὰ διαπιστώσῃ ὁ ἀναγνώστης εἰς τὰ τροπάρια ἐκεῖνα, εἰς τὰ ὁποῖα μνημονεύονται τὰ ὀνόματα τῶν Ἁγίων.

Οἱ ἀνωτέρω Μάρτυρες ἔζησαν κατὰ τὸν β΄ μ. Χ. αἰῶνα καὶ κατήγοντο, ἄλλοι μὲν ἐκ τοῦ Βυζαντίου, ἄλλοι δὲ ἐκ τῆς Φιλιππουπόλεως. Συνελήφθησαν διὰ τὴν εἰς Χριστὸν πίστιν αὐτῶν εἰς τὴν Βιζύην τῆς Θρᾴκης ἀπὸ τὸν ἡγεμόνα Ἀπελλιανόν, ὅστις ὑπέβαλεν αὐτοὺς εἰς πολλὰ καὶ ποικίλα βασανιστήρια, ἐπειδὴ ὡμολόγουν τὸν Χριστὸν ὡς μόνον ἀληθῆ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου. Ὡλοκληρώθη δὲ τὸ μαρτύριον αὐτῶν διὰ πυρᾶς, ἀφοῦ προηγουμένως ὁ Ἀπελλιανὸς ἔδωκεν ἐντολὴν οἱ δήμιοι νὰ κόψουν τὰς χεῖρας καὶ τοὺς πόδας τῶν ἐνδόξων

ὁμολογητῶν. Τοιουτοτρόπως παρέδοσαν τὰς ἁγίας αὐτῶν ψυχὰς εἰς τὸν Θεὸν καὶ ἔλαβον παρ' Αὐτοῦ τοὺς τοῦ Μαρτυρίου ἀφθάρτους στεφάνους.

Τὰ δὲ κατὰ τοὺς δύο Μάρτυρας Σεβῆρον καὶ Μέμνονα ἔχουσιν οὕτως:

Ὁ ἀήττητος τοῦ Χριστοῦ ἀθλητὴς Σεβῆρος κατήγετο ἐκ τῆς Σίδης τῆς Παμφυλίας. Ὁ πατὴρ αὐτοῦ, καταγόμενος ἐκ τῆς Θράκης, ὠνομάζετο Πετρώνιος καὶ ἡ μήτηρ αὐτοῦ Μυγδονία. Οὗτος ἐλθὼν εἰς Φιλιππούπολιν καὶ ἰδὼν τοὺς ἀνωτέρω τριάκοντα ἑπτὰ ἁγίους Μάρτυρας ἀγωνιζομένους διὰ τὸν Χριστόν, παρρησίᾳ καὶ αὐτὸς Τὸν ὡμολόγησε. Διὰ τοῦτο ἐξεσχίσθη δυνατὰ καὶ πεπυρωμένα σιδηρᾶ δακτυλίδια ἐδέχθη εἰς τὰ δάκτυλα τῶν χειρῶν αὐτοῦ· εἶτα τανυσθεὶς ἐπάνω εἰς τέσσαρα ξύλα ἐπριονίσθη καὶ ὕστερον ἐζώσθη μὲ μίαν σιδηρᾶν ζώνην πεπυρωμένην καὶ τέλος ἀπεκεφαλίσθη ὁ ἀοίδιμος καὶ ἔλαβεν οὕτως τοῦ μαρτυρίου τὸν ἔνδοξον στέφανον.

Ὁ δὲ ἅγιος Μέμνων, ὁ καὶ Κεντυρίων ἐπονομαζόμενος, ἐτεντώθη πρότερον ἐπάνω εἰς δύο κολόνας, ἐν συνεχείᾳ ἐξέβαλον ἐξ αὐτοῦ τρία λωρία ἀπὸ τῆς κεφαλῆς ἕως τῶν ποδῶν καὶ εἶτα ἔρριψαν αὐτὸν εἰς κάμινον, ἔνθα καιόμενος παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ, παρὰ τοῦ Ὁποίου ἔλαβεν ὁ ἔνδοξος τὸν ἀμαράντινον στέφανον τῆς ἀθλήσεως.

Τὴν ᾀσματικὴν Ἀκολουθίαν τῶν εὐκλεῶν τούτων Μαρτύρων ἐμέλισε μετὰ πολλῆς τέχνης καὶ χάριτος ὁ θεολόγος καὶ μουσικολόγος κ. Ἀχιλλεὺς Χαλδαιάκης, τῇ παρακλήσει τοῦ ὁποίου ἤχθην εἰς τὴν ἀπόφασιν τῆς συντάξεως ταύτης, καὶ τῇ ἐπιθυμίᾳ αὐτοῦ ἐπιμέτρως δημοσιεύονται τὰ μουσικὰ χειρόγραφα τῶν τριῶν δοξαστικῶν, τῶν στιχηρῶν καὶ ἀποστίχων τοῦ Ἑσπερινοῦ καὶ ἐκείνου τῶν αἴνων.

Εὐχαριστίας ἐκ καρδίας ταπεινῶς προσάγω τῷ ἀγωνοθέτῃ Χριστῷ, διότι παρ' ἀξίαν κατηξιώθην νὰ ἐξυμνήσω τοὺς καλλινίκους Μάρτυρας, τοὺς ἐν Βιζύῃ τῆς Θράκης ἀθλήσαντας θεαρέστως.

Ἐπίσης ἀδελφικῶς εὐχαριστῶ τόσον τὸν αἴτιον τῆς συντάξεως τῆς ᾀσματικῆς ταύτης Ἀκολουθίας κ. Ἀχιλλέα Χαλδαι-

άκην, διά τε τὴν δοθεῖσάν μοι εὐκαιρίαν καὶ διὰ τὴν περίτεχνον μέλισιν ταύτης, ὡς καὶ πάντας τοὺς ποικιλοτρόπως συμβαλόντας εἰς τὴν παροῦσαν ἔκδοσιν. Ἁπάντων τῆς ἀγάπης μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ Αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ΑΜΗΝ.

Ἔγραφον ἐν Ἑρμιόνῃ τῇ 27ῃ Μαΐου 1993,
ἑορτῇ τῆς Ἀναλήψεως τοῦ Σωτῆρος Χριστοῦ

Ἀρχιμ. Νικόδημος Γ. Ἀεράκης
Ἱεροκῆρυξ

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς´ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια τῆς Ἑορτῆς γ´ καὶ τῶν Μαρτύρων γ´.**

*Ἦχος δ´. Ἔδωκας σημείωσιν.*

Θύματα πανεύοσμα, καὶ Ἐκκλησίας οἱ πρόβολοι, ἀνεδείχθητε ἔνδοξοι, ἐν Θρᾴκῃ ἀθλήσαντες ὑπὲρ τῆς Τριάδος· ἠρνήθητε κόσμον, καὶ τῆς σαρκὸς τὰς ἡδονάς, Θεὸν ποθοῦντες τὸν μόνον Κύριον· διὸ κατεσκηνώσατε, ἐν χώρᾳ ζώντων Μακάριοι, καὶ στεφάνους ἐλάβετε, ἐκ χειρὸς τοῦ Παντάνακτος.

Μάξιμον, Γενέθλιον, Θεοσεβῆ καὶ Εὐστάθιον, Ἀχιλλέα καὶ Βίκτωρα, Εὐδαίμονα, Δίφιλον, Ζωτικόν, Σεβῆρον, Κερκᾶν καὶ τὸν Εὖρον, Μέμνονα, Ὦρον, Ἀγαθὸν καὶ Ἐπαφρόδιτον, Ἡλιόδωρον, τιμήσωμεν ἐν ᾄσμασι, καὶ ἐγκωμίοις φιλόθεοι· τὸν Χριστὸν ὡμολόγησαν, πανενδόξως οἱ Μάρτυρες.

Νίκωνα, Κρονίωνα, Σιλουανὸν καὶ τὸν Στράτωνα, Σατορνίνον, Τιμόθεον, Μολίαν, Νεόφυτον, Φωτεινὴν καὶ Ῥίνον, Ἀντίλινον, Βόσβαν, Μέστον, Πανσθένην καὶ Δοσᾶν, τὸν Παντολέοντα καὶ Ὠρίωνα, Ὀρέστην καὶ Πανθήριον καὶ τὸν Παλμᾶτον τοὺς Μάρτυρας, εὐφημήσωμεν ἅπαντες, ἐγκωμίοις καὶ ᾄσμασιν.

Ἔδοσαν οἱ Μάρτυρες, ὁμολογίαν εὐπρόσδεκτον, Ἰησοῦ τῷ Παντάνακτι, κληθέντες ἐν βήματι, τῆς ἀρχῆς τοῦ σκότους, καὶ τῆς

ἐξουσίας εἰδωλολάτρου δικαστοῦ, ἐν τῇ Βιζύῃ οἱ παμμακάριστοι· διὸ νῦν συναγάλλονται, μετὰ τῶν ἄνω δυνάμεων, ἐν αὐλαῖς καταπαύσεως, ἐν ἁγίων σκηνώμασι.

**Δόξα.** *Ἦχος πλ. β΄.*

Τῇ ἐτησίᾳ ὑμῶν μνήμῃ, θεηγόροι μάρτυρες Χριστοῦ, τὰ πλήθη τῶν φιλοχρίστων, συνελθόντα προσᾴδουσιν ὑμῖν· Χαίρετε ἄδυτοι φωστῆρες, ἐλλαμφθέντες τῇ χάριτι τοῦ Ἀκτίστου Φωτός· Χαίρετε στύλοι ἀκλινεῖς, τὰς ψυχὰς τῶν εὐλαβῶς τιμώντων, τὴν ἱερὰν ὑμῶν μνήμην στηρίζοντες· Χαίρετε Ἀχιλλεῦ, Σεβῆρε, Μέμνον, σὺν τοῖς λοιποῖς ἀθληφόροις, τὸν τῆς πλάνης δεσμὸν διαῤῥήξαντες καὶ εὐθαρσῶς, τὸν Χριστὸν Υἱὸν Θεοῦ ἀνακηρύξαντες· πρὸς Ὅν πρεσβεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** *Ἦχος πλ. β΄. Τῆς Ἑορτῆς.*

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον· καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε Κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σου. Μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἰς τὸν στίχον, Στιχηρὰ Προσόμοια**
**τῶν Ἁγίων Μαρτύρων.**

*Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τὸν Ἀχιλλέα ἐν ὕμνοις δεῦτε τιμήσωμεν, σὺν τοῖς λοιποῖς συνάθλοις· διεκήρυξαν κόσμῳ, ἄναρχον Πατέρα, Λόγον Θεόν, καὶ Παράκλητον Κύριον, Μίαν οὐσίαν Θεότητα Ἑνικήν, Τρισυπόστατον παντέλειον.

Τὴν τῶν Μαρτύρων χορείαν δεῦτε τιμήσωμεν· αὕτη γὰρ τῆς Τριάδος, ὡμολόγησε πίστιν· θάνατον ὑπέστη μαρτυρικόν, καὶ βραβεῖον ἐδέξατο, παρὰ Χριστοῦ τοῦ Σωτῆρος ἐν οὐρανοῖς, Βασιλείαν ἀνεκλάλητον.

Τοὺς ἀθληφόρους τῆς Θρᾴκης δεῦτε τιμήσωμεν, προσφέροντες ἐν ὕμνοις, ἐγκωμίων στεφάνους. Ἔδοσαν τοῖς πᾶσιν ὑπογραμμόν, καὶ τῷ αἵματι ἔσβεσαν, πολυθεΐας τὴν πλάνην, καὶ τῶν πιστῶν, τὰς καρδίας ἐπεστήριξαν.

**Δόξα.** *Ἦχος β΄.*

Ὁ τῶν ἀθλητῶν παμμακάριστος σύλλογος, μετὰ παῤῥησίας ὡμολόγησε, Θεὸν Τρισάγιον καὶ Ὁμοούσιον· Διὸ ἐν τῇ Θρᾴκῃ οἱ κλεινοὶ Μάρτυρες Ἀχιλλεύς, Σεβῆρος καὶ Μέμνων, σὺν τοῖς τριάκοντα καὶ ἓξ συνάθλοις αὐτῶν, ἔθυσαν τῷ Πανοικτίρμονι Κυρίῳ τὰς ψυχάς, μὴ πτοηθέντες τύραννον ἄθεον καὶ μαρτυρίου αἰκισμούς. Πρὸς οὓς βοήσωμεν· Καλλίνικοι Μάρτυρες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** *Ἦχος β΄. Τῆς ἑορτῆς.*

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

**Ἀπολυτίκιον.**

*Ἦχος α΄. Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας.*

Τοῦ Βυζαντίου, τὰ πανευώδη βλαστήματα, ὁμολογοῦσι, Θεὸν τὸν ἐκ Παρθένου σαρκὶ ἐλθόντα. Συντρέχουσι σὺν αὐτοῖς, Φιλιππουπόλεως οἱ καρποί, καὶ στεφανοῦνται χερσὶ τοῦ Σωτῆρος, εὐφραινόμενοι οἱ Μάρτυρες.

**Ἕτερον.** *Ἦχος ὁ αὐτός. Ἐν τῇ Γεννήσει.*

Τὸν Ἀχιλλέα, τὸ τῶν Μαρτύρων καλλώπισμα, καὶ τοὺς ἐνδόξους, συμμάρτυρας τιμήσωμεν εὐφροσύνως· ἐτέχθησαν ἐν ζωῇ, κάρας τμηθέντες ὑπὲρ Χριστοῦ· καὶ σὺν ἀγγέλοις ἀγάλλονται πάντες, καθορῶντες φῶς τὸ ἄδυτον.

**Καὶ ἀπόλυσις.**

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ στιχολογίαν κάθισμα τῶν Ἁγίων.**

*Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Οἱ παντευλόγητοι ἔνδοξοι Μάρτυρες, πόθῳ ἐνήθλησαν, ὑπὲρ τῆς πίστεως, καὶ ἐν βασάνοις θαυμαστῶς ἐδείχθησαν θεοφόροι· ὅθεν κατηδάφισαν, τῶν δαιμόνων σεβάσματα, ζήλῳ τροπωσάμενοι ἀσεβῶν τὰ φρυάγματα· διὸ μετ᾽ εὐφροσύνης βοῶμεν· Χαίρετε πύργοι Ἐκκλησίας.

**Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Εἰς τὰ οὐράνια, ἡ νοερά σου ψυχή, εἰς τὸν Παράδεισον, ἡ καθαρά σου σκηνή, μετατεθεῖσα ἐκ φθορᾶς, ἀγάλλεται Παναγία. Ὅθεν ἀνταπέδωκε, τοῖς ἀνόμοις ὁ Κύριος· δόλον γὰρ εἰργάσαντο, τῷ τιμίῳ Λειψάνῳ σου. Διὸ σὺν Ἀποστόλοις βοῶμεν· Χαῖρε ἡ Κεχαριτωμένη.

**Μετά τὴν β΄ στιχολογίαν κάθισμα τῶν Ἁγίων.**

*Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ἐπιγνῶμεν ἀδελφοί, τὰς ἀπαρχὰς τοῦ οὐρανοῦ, τῶν μαρτύρων τοὺς χορούς, τοὺς καρτερίᾳ αἰκισμῶν, ἐξαφανίσαντες πλάνην πολυθεΐας· ὅθεν καὶ ἡμεῖς μιμησώμεθα, βίου ἀρετὰς καὶ μαρτύριον· καὶ σὺν αὐτοῖς, κηρύξωμεν ἐν κόσμῳ, Θεὸν Τρισάγιον ἄναρχον, τοῦ κόσμου Κτίστην, καὶ Ἐκκλησίας, βάσιν καὶ σωτηρίαν.

**Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Ἐν χερσὶ τοῦ δι᾽ ἡμᾶς, ἐνανθρωπήσαντος ἐκ σοῦ, παραθεμένην τὴν ψυχήν, ὡς πλαστουργός σου καὶ Θεός, πρὸς τὴν ζωὴν τὴν ἀκήρατον μετέστησεν· ὅθεν σε σεπτῶς μακαρίζομεν, τὴν μόνην καθαρὰν καὶ ἀμόλυντον, καὶ Θεοτόκον ἅπαντες κυρίως, ὁμολογοῦντες κραυγάζομεν· Χριστὸν δυσώπει, πρὸς Ὃν μετέστης, σῶσαι τὰς ψυχὰς ἡμῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·**

ΤΟΙΣ ΕΝ ΘΡᾼΚῌ ΜΑΡΤΥΣΙΝ ΑΙΝΟΣ. ΝΙΚΟΔΗΜΟΥ

**Ὠδὴ α΄.** *Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Τοὺς Μάρτυρας ᾄσμασιν, ἐν Ἐκκλησίαις τιμήσωμεν, καὶ χεῖρας κροτήσωμεν, ἐν εὐφροσύνῃ πολλῇ· οὗτοι ἔλυσαν, εἰδώλων τὴν μανίαν, κηρύξαντες αἵμασιν, Μίαν Θεότητα.

Ὀρθρίσωμεν ἅπαντες, μετ᾽ εὐφροσύνης γηθόμενοι, καὶ πλέξωμεν στέφανον, τοῖς ἀθληφόροις Χριστοῦ, τοῖς συντρίψασι τὰς στήλας τῶν δαιμόνων, δυνάμει τοῦ Πνεύματος οἱ καρτερόψυχοι.

Ἰσχὺς καὶ ὀχύρωμα, τῆς Θράκης ὤφθητε Μάρτυρες, φρουροῦντες ἐν αἵμασι, τὴν Ἐκκλησίαν αὐτῆς, καὶ πρεσβεύοντες ἐνώπιον Κυρίου, φυλάττειν ἀήττητον, καὶ ἀπροσμάχητον.

**Θεοτοκίον.**

Σημείωσιν δέδωκας, τοῖς σεβομένοις Πανάχραντε, τὴν ἄσπορον κύησιν, τοῦ Θεοῦ Λόγου ἐν Σοί· Ὃν οἱ Μάρτυρες, καρδίᾳ προσκυνοῦντες, πιστῶς ἐμιμήθησαν, κάρας τεμνόμενοι.

**Ὠδὴ γ΄.** *Τοὺς σοὺς ὑμνολόγους.*

Ἐνθέως ἐνήθλησαν ἐν Θράκῃ, χορεία Μαρτύρων εὐκλεῶν, γόνοι Φιλιππουπόλεως, καὶ Βυζαντίου ἔνδοξοι· ἐν οἷς ὁρᾶται ἄριστος, ὁ Ἀχιλλεὺς ὁ τρισόλβιος.

Ἡ ενίκηται τύραννος Βελίαρ, Μαρτύρων ἀθλήσει κραταιᾷ, πίπτων εἰς Ἅδου πέταυρον, παναληθῶς ἀνίσχυρος· ὅθεν πιστοὶ τιμήσωμεν, ἐν ὕμνοις δόξης τοὺς Μάρτυρας.

Θεὸν ἀληθῆ ὁμολογοῦντες, οἱ Μάρτυρες ἔσπευδον χαρᾷ, πάθος δεχθῆναι τίμιον, ἵνα ζωὴν κερδήσωσιν, καὶ αἰωνίαν λύτρωσιν, ἐν χώρᾳ ζώντων οἱ ἔνθεοι.

**Θεοτοκίον.**

Ρημάτων ἐνθέων ἠχηθεῖσα, συνέλαβες Ἄχραντε Ἁγνή, ἐν μήτρᾳ Σου τὸν Ἄχρονον, ἀνερμηνεύτως Δέσποινα· ὅθεν ἐν πίστει ἅπαντες, στεφάνους ὕμνων Σοὶ πλέκομεν.

**Κάθισμα.** *Ἦχος γ΄. Θείας πίστεως.*

Θεῖοι Μάρτυρες, τῆς ἀληθείας, τέκνα ἔνδοξα τῆς Ἐκκλησίας, ζηλωταὶ τῆς εὐσεβείας γενόμενοι, ὑπὲρ Χριστοῦ αἰκισμοὺς ὑπομείναντες, τῶν πρωτοτόκων τὴν χάριν ἐδέξαντο· Ὅθεν ἅπαντες, Χριστὸν τὸν Θεὸν δοξάσωμεν, τοὺς Μάρτυρας ἐνδόξως θαυμαστώσαντα.

**Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος· ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος· θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

**Ὠδὴ δ΄.** *Ὁ καθήμενος ἐν δόξῃ.*

Ἀριστεῖς τῆς Ἐκκλησίας, ἀνεδείχθητε Μάρτυρες, καὶ τῆς οἰκουμένης, πάσης ἀληθῆ ὑποδείγματα, ὁμολογήσαντες πίστει Θεὸν τέλειον, τὸν προάναρχον, Λόγον Πατρός, τὸ ἀπαύγασμα.

Καθαρθῶμεν τὰς αἰσθήσεις, οἱ τιμῶντες τοὺς Μάρτυρας, καὶ ἐν Ἐκκλησίαις, ᾄσμασιν αὐτοὺς καταστέψωμεν, ἐμμελετῶντες ἐν πόθῳ, τὴν τελείωσιν, καὶ τὴν ἄθλησιν, δόξα βοῶντες τοῖς Μάρτυσιν.

Ἡ χορεία τῶν Μαρτύρων, ἐν Βιζύῃ κατῄσχυνεν, εἰδωλολατρίαν, καὶ τῶν ἐθνικῶν τὴν δυσσέβειαν, ἀνακηρύττουσα λόγοις, καὶ παθήμασι, τὸν Τρισάγιον, μόνον Θεόν, Παντοδύναμον.

### Θεοτοκίον.

Μακαρία ἡ κοιλία, καὶ ὁ Τόκος σωτήριος, τῆς Παρθένου πέλει, ἄῤῥητον μυστήριον ἔνθεον, ὃ προσκυνοῦντες ἐν πίστει, οἱ θεόφρονες, ἀνακράζομεν· Δόξα Παρθένε τῷ Τόκῳ Σου.

**Ὠδὴ ε΄.** *Ἐξέστη τὰ σύμπαντα.*

Ἀντέστησαν Μάρτυρες, κατὰ ἀθέου δόγματος, ζήλῳ πυρπολούμενοι ἐνθέῳ· ὅθεν εἰσῆλθον εἰς οὐρανίους μονάς, ὁρῶντες τὸν ἄναρχον Θεόν, τὸν ἀντιδοξάζοντα, τῶν Μαρτύρων τὸν σύλλογον.

Ῥανίδος ἐγεύθησαν, χαρᾶς Θεοῦ οἱ Μάρτυρες, ὅτε, ὡμολόγησαν ἐν πίστει, ἕνα τῇ φύσει τὸν ἐν Τριάδι Θεόν, καὶ ῥήξαντες πόθους τῆς σαρκός, ἔσπευδον ἀθλήμασι, κατακτῆσαι τὰ κρείττονα.

Τριάδα τὴν ἄκτιστον, Θεὸν τῶν πάντων Κύριον, πίστει, ἀπεκάλυψαν τῷ κόσμῳ, Μάρτυρες θεῖοι ὁμολογίᾳ θερμῇ, καὶ πάσχοντες ἄλλην βιοτήν, ἤλπιζον ἐν Πνεύματι, ἀπολαῦσαι αἰώνιον.

### Θεοτοκίον.

Ὑψοῦσαι πανάχραντε, ἐν δόξῃ θείᾳ Δέσποινα, βίῳ παντελείῳ Θοτόκε· θρόνῳ τοῦ Κτίστου παρισταμένη ἀεί, τοὺς Μάρτυρας ἕλκεις πρὸς Θεόν, ζήλῳ ἀναφλέγουσα, τῆς καρδίας τὴν ἔφεσιν.

**Ὠδὴ ϛ΄.** *Τὴν θείαν ταύτην.*

Σκιρτᾷ ἡ Θρᾴκη ἐν Πνεύματι, κατέχουσα Μαρτύρων τὰ λείψανα, τὰ θεοδώρητα· δεῦτε πιστοὶ προσκυνήσωμεν, μετ᾽ εὐλαβείας ταῦτα, Θεὸν δοξάζοντες.

Ἰσχὺς πιστῶν ἀνεδείχθητε, καὶ τεῖχος ἀῤῥαγὲς καὶ προπύργιον, ὦ Χριστομάρτυρες, πάθει τὸν κόσμον νικήσαντες, καὶ τοῦ ἐχθροῦ παγίδας, κατασυντρίψαντες.

Νικᾶται Δράκων ὁ βύθιος, βροτῶν ταῖς ἀρεταῖς τιτρωσκόμενος, καὶ τοῖς ἀθλήμασι· Δεῦτε πιστοί, καταστέψωμεν, τοὺς ἀριστεῖς ἐν ὕμνοις, Θεὸν κηρύξαντας.

### Θεοτοκίον.

Ἀφράστως Ἄσπιλε ἔτεκες, τὸν Λόγον τοῦ Πατρός τὸν προάναρχον, καὶ ὁμοούσιον· πᾶσι τοῖς Μάρτυσι Δέσποινα, Αὐτὸν δεικνύεις μόνον, Σωτῆρα Κύριον.

### Κοντάκιον.

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοὺς ἀριστεῖς τῶν καλλινίκων Μαρτύρων, τὸν Ἀχιλλέα καὶ Σεβῆρον τιμῶμεν, σὺν τῷ ἐνδόξῳ Μέμνονι, Χριστοῦ μιμητάς· εὔφραναν ἐν τοῖς παθήμασι, τοὺς πιστοὺς ἀδελφοὺς αὐτῶν, πόθῳ ἐνιστάμενοι κατὰ τῆς ἀσεβείας· τῆς Ἐκκλησίας ὤφθησαν βλαστοί, σῴζεσθαι πάντας, Θεὸν ἱλασκόμενοι.

### Ὁ Οἶκος

Γόνοι τοῦ Βυζαντίου θεόμορφοι, καὶ καρποὶ πανεύγευστοι Φιλιππουπόλεως, τῷ Θεῷ ἡρμόσθητε ἐν πίστει ἀληθεῖ, καὶ ὑπὲρ Αὐτοῦ, ὥσπερ ἄρνες, ἐν τῇ Βιζύῃ τῆς Θρᾴκης σφαγιασθέντες, τοῖς πρωτοτόκοις ἀδελφοῖς συνηριθμήθητε ἐν οὐρανοῖς· ὅθεν στεφάνους λαβόντες παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, ἐν σκηναῖς δικαίων ἀνεπαύθητε, ἀδιαλείπτως καθορῶντες, τὸ ἀπρόσιτον τῆς Τρισηλίου Θεότητος φῶς, τοὺς τιμῶντας δὲ ὑμᾶς ἐν ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, σῴζεσθαι πάντας, Θεὸν ἱλασκόμενοι.

### Συναξάριον

Τῇ Κ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων τριάκοντα ἑπτὰ μαρτύρων, τῶν ἐν Βιζύῃ τῆς Θρᾴκης μαρτυρησάντων.

### Στίχοι.

Τρεῖς ἐνδέουσι πρὸς τὸ τοὺς κεκαυμένους,
Χάριν Τριὰς σοῦ, τετράκις τελεῖν δέκα.

Οὗτοι ὑπῆρχον, οἱ μὲν ἐκ Βυζαντίου, οἱ δὲ ἐκ Φιλιππουπόλεως. Κρατηθέντες δὲ ἐν Βιζύῃ τῆς Θρᾴκης παρὰ Ἀπελλιανοῦ καταράτου, τοῦ τηνικαῦτα ἡγεμονεύοντος, καὶ διαφόροις βασάνοις ἐξετασθέντες, διὰ τὸ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογεῖν, τελευ-

ταῖον, καμίνου ὑπὸ γῆν ἐξαφθείσης μεγίστης, ἅπαντες χεῖρας καὶ πόδας ἀκρωτηριασθέντες, ἐν αὐτῇ ἀποῤῥίπτονται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Σεβήρου καὶ Μέμνονος Κεντυρίωνος.

Στίχοι.

Ξίφει παθὼν Σεβῆρος, εὗρεν ἀξίως,
Ἔπαθλα λαμπρὰ τοῦ διὰ ξίφους πάθους.
Ἔχει τὸ πῦρ σε πρὸς βραχύν, Μέμνον, χρόνον·
Μένει δέ σε στέφανος εἰς ἀεὶ μένων.

Σεβῆρος ὁ ἀήττητος τοῦ Χριστοῦ Μάρτυς, ἐκ Σίδης ἦν τῆς Παμφυλίας, υἱὸς Πετρονίου τινὸς Θρᾳκὸς καὶ μητρὸς Μυγδονίας. Καταλαβὼν δὲ ἐν Φιλιππουπόλει τοὺς Ἁγίους τριακονταεπτὰ Μάρτυρας, ὑπὲρ Χριστοῦ ἀθλοῦντας, ξέεται σφοδρῶς τὴν εὐσέβειαν παῤῥησιασάμενος· καὶ δακτυλίδας πυρωθείσας ἐδέξατο τοῖς δακτύλοις, καὶ ἐν τέσσαρσι ξύλοις τανυσθεὶς πρίεται, πεπυρακτωμένῳ ζωστῆρι ζωσθείς· εἶθ' οὕτω τὴν κεφαλὴν ἀποτέμνεται. Μέμνων δὲ ὁ Κεντυρίων, ἐπὶ δύο κίοσι τανυσθείς, ἀπεδάρη τρεῖς λώρους ἀπὸ κεφαλῆς ἕως ποδῶν. Εἶτα ἐν καμίνῳ βληθείς, τοὺς πόδας πρότερον ἀκρωτηριασθείς, τὸ πνεῦμα τῷ Θεῷ παρέθετο, τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησάμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Προφήτου Σαμουήλ.

Στίχοι

Μύσας τελευτῇ καὶ Σαμουὴλ ὁ βλέπων,
τὸ ζῶν ἀεὶ φῶς καὶ τελευτήσας βλέπει.
Βῆ δ' ὁρόων μέλλοντα Σαμουὴλ εἰκάδι ἔνθεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Φωτεινῆς, ἔξω τῆς πόρτης τῶν Βλαχερνῶν· καὶ τοῦ Ἁγίου Μάρτυρος Λουκίου τοῦ Βουλευτοῦ.

Στίχοι

Βουλὰς ὅλας παρῆλθε τὰς Ἀχιτόφελ,
Βουλῇ μιᾷ Λούκιος, ἀθλήσας ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἡλιοδώρου καὶ Δοσαῒ (ἢ Δοσᾶ ἢ Σοδᾶ).

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. *Οὐκ ἐλάτρευσαν.*

Ικετεύσατε, τὸν Κτίστην θεοτίμητοι, τοῦ δοῦναι ἄφεσιν, ἡμῖν τοῖς πόθῳ θερμῷ, τιμῶσιν ἐν Πνεύματι, Λόγον προάναρχον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νικητήρια, προσοίσωμεν ἐγκώμια, τοῖς μαρτυρήσασιν, ὑπὲρ Χριστοῦ ἀνδρικῶς, καὶ στήσωμεν τρόπαια, Κυρίῳ ψάλλοντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεός εὐλογητὸς εἶ.

Οὐρανώσατε, τὴν γῆν ὢ παμμακάριστοι, Θεὸν κηρύξαντες, Μαρτύρων αἱ ἀπαρχαί· βασάνοις τηκόμενοι, ᾔδετε χαίροντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Σὺ Πανάμωμε, τοὺς Μάρτυρας προσήγαγες, τῇ μεσιτείᾳ Σου, τῷ Σῷ Υἱῷ καὶ Θεῷ· ἐν Θράκῃ ἐνήθλησαν, πνεύματι μέλποντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. *Παῖδας εὐαγεῖς.*

Νέκρωσιν ὑπέστησαν ἐμφρόνως, βασάνοις δοκιμαζόμενοι οἱ Μάρτυρες, λάκκῳ συγκλειόμενοι, νῦν δὲ δοξαζόμενοι· τῆς οἰκουμένης πρόβολοι, ἀπαύστως ψάλλουσι· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ιθυνον καρδίας πρὸς τὸν Κτίστην, οἱ γόνοι Φιλιππουπόλεως καὶ Βύζαντος, Λόγῳ στερεούμενοι, ἔργῳ φανερούμενοι, τῆς Ἐκκλησίας πρόμαχοι, σὺν ταύτῃ ψάλλοντες· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Κράτος τοῦ Παντάνακτος τιμῶσιν, οἱ Μάρτυρες Ἐκκλησίας οἱ θεόμορφοι, ἅπαντα ὡς σκύβαλα, πίστει ἀρνησάμενοι· τὸν οὐρανὸν ἐκτήσαντο, ἀεὶ κραυγάζοντες· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ὅλην τὴν ὑφήλιον ἀῤῥήτως, ὁ Τόκος τῆς Θεοτόκου διεσώσατο, σάρκα προσλαβόμενος, πίστει προσκυνούμενος· τὴν οἰκουμένην ἅπασαν ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.** *Ἅπας γηγενής.*

Δεῦτε τοὺς κλεινούς, Εὐστάθιον, Σίδην τε, καὶ Ἐπαφρόδιτον, Εὖρον, Ἀχιλλέα τε, καὶ Ὦρον θεῖον, Στράτωνα, Τύραννον, τὸν Ζωτικόν, Εὐδαίμονα, καὶ Ἡλιόδωρον, τὸν Σεβῆρον, Μέμνονα καὶ Λούκιον, ἐγκωμίοις φαιδρῶς, καταστέψωμεν.

Ἤρθησαν ἐκ γῆς, Ἀντίλινος, Ἄνθανας, Κερκᾶς καὶ Δίφιλος, Βίκτωρ, Βόσβας, Μάξιμος, Κρονίων, Μέστος, Μέμνων, Νεόφυτος, ἡ Φωτεινή, Πανσθένης τε, καὶ ὁ Πανθήριος, Παντολέων, Γάϊος οἱ Μάρτυρες, οὓς ἐν ὕμνοις πιστοί, μεγαλύνωμεν.

Μάρτυρας Χριστοῦ, Μολίαν καὶ Νίκωνα, Δοσᾶν καὶ Χρύσανθον, Ζώϊλον, Ὠρίωνα, Ῥηγίνον, Ῥίνον, θεῖον Γενέθλιον, καὶ τὸν κλεινὸν Ἀγάθωνα, καὶ τὸν Τιμόθεον, μετὰ δόξης, ἅπαντες τιμήσωμεν, οὓς Χριστὸς ἐν ἁγίοις, κατέταξεν.

Ὄρη νοητά, οἱ Μάρτυρες ὤφθησαν, λαμπρῶς τιμώμενα· τῆς Φιλιππουπόλεως καὶ Βυζαντίου, γόνοι πανάριστοι· τῇ βιοτῇ παντέλειοι, δόξαν ἐπόθησαν, μαρτυρίου, οὗ κατηξιώθησαν, καὶ Θεῷ Τρισαγίῳ ἡνώθησαν.

**Θεοτοκίον.**

Ὕμνησαν χοροί, Ἀγγέλων γηθόμενοι, τὴν Θεομήτορα· τὸν Θεὸν γὰρ ἔτεκεν, ἐν κόσμῳ λῦσαι μερόπων πταίσματα· διὸ πιστοὶ

ἐγκώμια, Αὐτῇ προσείπωμεν, καὶ ἐν πόθῳ, πάντες προσκυνήσωμεν, τὴν Μητέρα τοῦ Κτίστου τὴν Ἄχραντον.

**Ἐξαποστειλάριον.** *Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τὸν οὐρανὸν οἰκεῖτε, στεφανηφόροι ἀθληταί, καὶ ὑπὲρ ἡμῶν αἰτεῖσθε, τὸν ἀθλοθέτην Ἰησοῦν, ἵνα φυλάττῃ ἀτρώτους, ἐπιβουλῆς ἀντιδίκου.

**Θεοτοκίον. Τῆς Ἑορτῆς.**

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους ϛ´ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια γ´ τῆς Ἑορτῆς καὶ γ´ τῶν Ἁγίων.**

**Τῶν Ἁγίων.**

*Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.*

Χαίρει Βυζαντίου ὁ λαός, καὶ Φιλιππουπόλεως χώρα, ἐπὶ τῇ μνήμῃ ὑμῶν· γόνοι γὰρ ὑπάρχετε αὐτῶν πανόλβιοι· καὶ ἡ Θρᾴκη νῦν γάνυται, ἰδοῦσα τὸ πάθος, ὅπερ ὑπεμείνατε, πίστει πτερούμενοι· ὅθεν Ὀρθοδόξων τὰ πλήθη, σήμερον γεραίρουσι, πόθῳ καὶ πανηγυρίζουσιν ἐν πνεύματι.

Δεῦτε φιλομάρτυρες σεπτούς, Μάρτυρας Χριστοῦ ἐγκωμίοις, ἐπευφημήσωμεν νῦν, Θρᾴκῃ ἐναθλήσαντας σεπτῶς ἐν χάριτι· ἐν Βιζύῃ παρέδοσαν ψυχάς, τῷ Κυρίῳ, σώματα δὲ τίμια πιστοῖς κατέλιπον· ὅθεν συνδοξάζονται πάντες, μετὰ τῶν ἁγίων Ἀγγέλων, ἐν τῇ Βασιλείᾳ τοῦ Παντάνακτος.

Ὅτε Ἀχιλλεὺς ὁ εὐκλεής, μετὰ τῶν συνάθλων ἐδίδου, τὴν παναγίαν ψυχήν, τότε ὁ Σεβῆρός τε καὶ Μέμνων ἔσπευδον, σὺν αὐτοῖς ἀγωνίσασθαι, καρδίᾳ καὶ πόθῳ, πᾶσαν ἡδυπάθειαν, ἀπαρ-

νησάμενοι· ὅθεν συνελθόντες ἐν πίστει, ὕμνοις καταστέψωμεν τούτους, καὶ πανηγυρίσωμεν φιλέορτοι.

**Δόξα. Τῶν Ἁγίων.** *Ἦχος πλ. δ΄.*

Τῶν Μαρτύρων τὴν κλῆσιν δεξάμενοι, τοῦ Παναγίου Θεοῦ, ναοὶ ἀνεδείχθητε ἔνδοξοι, σκεύη ἱερὰ τοῦ Πνεύματος, ἀγωνισάμενοι στεῤῥῶς· καὶ ἐν βασάνοις, ἀνδρείως ὁμολογήσαντες Χριστὸν, τοῦ δεινοῦ Βελίαρ καθείλετε τὴν δύναμιν· καὶ νίκης ἄραντες τρόπαια, στεφανηφόροι ἐν ὑψίστοις Θεῷ παρίστασθε· Ὢ καὶ πρεσβεύοντες μὴ ἐλλίπητε, ὑπὲρ τῶν ὑμᾶς γεραιρόντων, Μαρτύρων ἐγκαλλωπίσματα.

**Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Παρθενικαὶ χορεῖαι σήμερον, μυστικῶς τῇ κλίνῃ τῆς Παρθένου καὶ Μητρός κύκλῳ παρίστανται· καὶ ψυχαὶ Δικαίων περιϊπτάμεναι, τὴν Βασιλίδα γεραίρουσιν· αἱ μέν, ὡς προῖκα τὴν παρθενίαν, ἀντὶ μύρου κομίζουσαι· αἱ δέ, τὴν ἄϋλον ὑμνῳδίαν, τὰ τῆς ἀρετῆς προσάγουσαι· πρέπει γὰρ τῇ Μητρὶ τοῦ Θεοῦ, ὡς Βασιλίδα, ταῖς βασιλικαῖς τῶν ἀρετῶν δορυφορεῖσθαι λαμπροφορίαις. Αἷς καὶ ἡμεῖς, βίον καθαρὸν συνεισενεγκόντες, ἐξέλθωμεν πρὸς κηδείαν, τῆς ὄντως Μητρὸς τοῦ Θεοῦ ἡμῶν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, αὐτὴν συμφώνως μακαρίζοντες.

**Δοξολογία Μεγάλη.**

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τοὺς ἐκ Βυζαντίου Ἀθληφόρους θεοστεφεῖς, καὶ Φιλιππουπόλεως γόνους πανενδόξους, ἐν οἷς τὸν Ἀχιλλέα, τὸν εὐκλεέστατον.

Μάρτυρες καλλίνικοι τοῦ Χριστοῦ, Θρᾴκης οἱ προστάται Ὀρθοδόξων οἱ πρεσβευταί, πᾶσαν Ἐκκλησίαν στηρίξατε πρεσβείαις, ὑμῶν πρὸς τὸν Σωτῆρα, Χριστὸν Θεάνθρωπον.

# ΜΟΥΣΙΚΟΝ ΕΠΙΜΕΤΡΟΝ

## Δοξαστικὸν τοῦ Ἑσπερινοῦ

Ἦχος πλ. α' Πα




αι αι αι ρε τε α δυ τοι οι φω στη
ρες ε ελλαμφθε ε ε ντε ε ες τη
χα α α α ααα α α α αα α
ρι ι τι του ου α α υπι ι ι στου ου
ου ου ου ου φω ω ν τος χαι αι αι αι
αι ρε ε ε τε δυ στυ λοι οι οι α α
υλι ι ι νεις δυ τας ψυ χα ας των ευλα
βω ως τι ι μωντων την ι ε ρα α
α αν η η η η η η η η η
η η μων μνη η η μη η η η η




ε ε ε ε ε ε ε ε ες και εν
θα αρθων ως τον χερ σι πον τι ο ο
ο ο ον θε ε ε ε ουου δη α να
α αα κη η ευ υ υ υ υ υ
ξαν τες προς ον πετοσε εν σα α
τε ε ε ε ε ε ε ε ε ε εε
ε ε ε ε ε ε λε η θη η
η η η και αι τα ας ψυχα ας η
η η η μων

# ~: Δοξαστικὸν τῶν Ἀποστίχων :~

Ἦχος Δι




ε θυ υ σαν τω πα νοι υπερμιους κυ ρι ι
ω ω ω τας ψυ υ υ χας μη πω
η θε ε ε ε ε ευ τες τυ ρρα νο ου
α α α α α α α α θε ου θ και
μαρτυ ρι ι ου ου αι ι ι ι σμους
προς ους βο η η η η η η η η η
η σω ω ω ω ω ω ω ω ω ω ω λω
ω ω ω ω ω μεν θ και λι ι ι νι ι ι
ι ι κοι α μα α α ρτυ ρε ες πρεσβε
ευ σα τε ε ε ε ε ε ε ε ε ε ε ε


ε ε ε ε ε ν πε κε των ψυ
χω ω ω ω ων μων



# Δοξαστικόν των Αίνων

Ήχος πλ. δ' Νη




σα α α νοι οι οι οις α ανδρει ει
ει ει ει ει ει λει ει ως
ο ο ο μο λο γη η η η η η η
η η σα ο μο λο γη η σαν τε ες
Χρι ι ι στο ο ο ο λο ο ο ο ον τον δει
νου ου ου ου ου βε ε λι ι ι ι ι
αρ δη κα θει ει λε τε ε την δυ
υ να α α την δυ υ να μιν δη και νι κης
α α ραν τε ες τρο ο ο ο ο ο ο
και α στε φα νη φο ο ο ο ρος


Βου
εν ν φι ι ι ι ι ι ι στοις
Νη
θε ω ω ω πα α α α ει
ι ι ι ι ι στα α α α α α
Δι
λα α α α πα ει ι ι στα σθε ε ε
Νη Δι
λε ε ε ε ε δη ω και πε ε σβε ε
ε εε ε ε εν ο ο ο λο ο ο
Πα
ον τες μη η ε ελ λι πη η
Δι
η τε ν περιωνεις ν μα α α ας γε
ε ε ε ραι αι αι ρο ο ο ο ο ο
Νη
ο ο λο ο ον των δη μαρτυν




Ἐμελίσθησαν τὰ Δοξαστικὰ ταῦτα,
παρ' ἐμοῦ τοῦ ἀμαθοῦς
Ἀχιλλέως τὴν ἐπίκλην Χαλδαιάκη,
τοῦ ἐξ Αἰγίνης ὁρμωμένου :~

**ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ**
**ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΑΚΟΝΤΑ ΕΠΤΑ ΜΑΡΤΥΡΩΝ**
**ΤΩΝ ΕΝ ΒΙΖΥῌ ΤΗΣ ΘΡᾼΚΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ**
**ΕΝ ΟΙΣ ΚΑΙ Ο ΜΑΡΤΥΣ ΑΧΙΛΛΕΥΣ**
**ΚΑΙ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΣΕΒΗΡΟΥ ΚΑΙ ΜΕΜΝΟΝΟΣ**

Συντάκτης: Ἀρχιμ. Νικόδημος Γ. Ἀεράκης
Διεύθυνσις: Ἑρμιόνη Ἀργολίδος. 21051
Τηλέφωνον: 0754 - 31290